© www.astrothesaurus.gr

***Περὶ ποιότητος τῶν δ΄ σχημάτων***

«Τῆς τοῦ ζῳδιακοῦ συστάσεως» Ἐντεῦθεν τὰς ποιότητας τῶν τριγώνων ἐκτίθεται.
«Ἐπὶ δὲ τῶν ἄλλων ζῳδίων τὴν ἡμίσειαν τῆς διαμέτρου πλευρᾶς»

*Τί φησί; ὅτι τὸ ἑξάγωνον σχῆμα εἰ μὲν ἐκ προστασσόντων καὶ ὑπακουόντων καὶ ὁρώντων καὶ ὁρωμένων συνέστηκεν, ἀγαθόν ἐστι καὶ τριγώνου δύναμιν ἔχει. εἰ δὲ ἐκ μηδενὸς τούτων συνέστηκε τὸ ἑξάγωνον καὶ μέσον ἐστὶ καὶ τοῦ διαμέτρου σχήματος ἔχει τὴν δύναμιν· καὶ γὰρ τὸ διάμετρον μέσον ἐστί· καθὸ μὲν γὰρ αὐτὸ ὁμαλόν ἐστι καὶ ἀπὸ ἄρρενος ζῳδίου ἐπὶ ἄρρεν ἔρχεται καὶ ἀπὸ θήλεος ἐπὶ θῆλυ, ἀγαθόν ἐστι· καθὸ δὲ τοῦ ἑνὸς ἀνατέλλοντος τὸ ἕτερον δύνει, φαῦλόν ἐστι. μέσον οὖν αὐτὸ εἶναι ἀνάγκη.*

«Τῶν ὁμόσε καὶ κατὰ τὸ αὐτὸ ζῴδιον σχηματιζομένων σύμφωνος ἡ συμπαρουσία νοείσθω»

*Τί φησί; ὅτι ἐὰν ἐν τῷ αὐτῷ ζῳδίῳ εἶεν ἀστέρες, σχηματίζωνται δὲ ὑπὸ ἄλλου ἀστέρος, ἐνεργέστερα καὶ ἐπιτατικώτερα αὐτῶν γίνεται τὰ ἀποτελέσματα εἴτε ἀγαθὰ εἴτε φαῦλα. σκοπῆσαι οὖν χρή, πότερον κατὰ αἵρεσιν ὑπάρχουσιν ἢ παρὰ αἵρεσιν, καὶ πότερον ὑπὸ ἀγαθοποιοῦ ἀστέρος σχηματίζονται ἢ ὑπὸ κακοποιοῦ, συναιρέτου ἢ οὔ·*